Ἁρπαμένην ταῖσιν ἐμαῖς
Δημότισιν καομένας
Φέρουσ' ὕδωρ βοηθῶ.
Ἤκουσα γὰρ τυφογέροντας
Ἄνδρας ἕρρειν στελέχη
Φέροντας ὥσπερ βαλανεύσοντας
Ἐς πόλιν ὡς τριτάλαντον βάρος,
Δεινότατ' ἀπειλοῦντας ἐπῶν.
Ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν.
Ἅς ὦ θεὰ μήποτ' ἐγὼ πιμπραμένας ἴδοιμι.
Ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας
Ἑλλάδα καὶ πολίτας.
Ἐφ' οἷσπερ ὦ χρυσολόφα
Πολιοῦχε σὰς ἔσχον ἕδρας
Καί σε καλῶ σύμμαχον ὦ
Τριτογένει', ἤν τις ἐκείνας
Ὑποπιμπρῇσιν ἀνήρ,
Φέρειν ὕδωρ μεθ' ἡμῶν.

A *Eripiant, vnde meis*
*Auxilians nunc fero aquam*
*Tribulibus propinquis.*
*Audiui enim non benè sanos*
*Hucce venisse senes*
*Sudésque in vrbem tetulisse ad talenta velut tria pondo graues.*
*Verbáque minari grauia.*
B *Fœminas esse igne malo scelestas vstulandas.*
*Ne siris, ô Diua, vt eas intuear crematas,*
*Sed subitò bellis furijsq́; eripiant*
*Helladáque incolásque:*
*Ob hæc tuas vrbico' a ô*
*Galeata sedes teneo*
*Téque voco nunc sociam ô*
*Tritogeneia, vt si quis eas vir*
C *Populare igne velit*
*Aquam feras vt & nos.*

BIS. Ἁρπαμένην.] ἐκ παραβάσεως τὴν ὑδρείαν. οὕτω Σουίδας. ὅθεν καὶ δῆλον ἄνω, ἀντὶ τοῦ οἰκίαν, ὥς τινες βίβλοι κακῶς ἔχουσι, ὑδρείαν γραπτέον. Τυφογέροντας.] οὕτω καλεῖν εἰώθασι τοὺς ἤδη παραληροῦντας, καὶ ἀξίους τετύφθαι. τὰ σχόλια τῶν Σφηκῶν ταύτην τὴν λέξιν οὕτως ἑρμηνεύει. Ἄλλως. Τυφογέρων, ὁ ἐσχατόγηρος, ἢ ὑπερήφανος. τετυφωμένος γέρων. τῦφος γὰρ ἡ ἀλαζονεία. Σ. Ἄλλως. τυφογέρων παρὰ τὸ τῦφον ἐκ τοῦ πολλὰ εἰδέναι λέγεται. ἢ παρὰ τὸ τύφειν, ὅ ἐστι καίειν, ὃ παρακολουθεῖ τοῖς νεκροῖς, οἷς οἱ γέροντες προσεγγίζουσιν. Εὐς. Βαλανεύσοντας.] βαλανεύειν κυρίως μὲν τὸ διακονεῖν ἐν τῷ βαλανείῳ, καὶ τὸ ὕδωρ παρέχειν τοῖς εἰς τὸ βαλανεῖον ἐλθοῦσι. νῦν δὲ τὸ θερμαίνειν, ἢ τὸ καίειν δηλοῖ, ὃ ποιεῖν εἰώθασιν οἱ τὸ τοῦ βαλανείου ὕδωρ τοῖς λουομένοις παρέχοντες. πόλιν δὲ, τὴν ἀκρόπολιν. οὕτω γὰρ καὶ ὁ Θουκυδίδης ἐν τῷ δευτέρῳ τῆς ξυγγραφῆς δηλοῖ. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα, πόλις ἦν. τριτάλαντον δὲ βάρος, τὸ τριῶν ταλάντων βάρος. τάλαντον δὲ, φωνὴ πολύσημος. καὶ γὰρ σημαίνει τὸ σταθμικὸν ὄργανον, καὶ τὸ σταθμώμενον πρᾶγμα. καὶ παρὰ τὸ τάλαν, καὶ καρτερικὸν τοῦ ἐργαλείου λέγεται. καὶ τάλαντον ὁ ζυγὸς, ὃν στατῆρα καλοῦμεν. καὶ σταθμός τις χρυσίου σύμμετρος παρ' Ὁμήρῳ, οὐχ ὡς παρὰ τοῖς ὕστερον ἑξήκοντα μνῶν. Εὐς. δεινότατα ἐπῶν, ἀντὶ τοῦ, ἔπη δεινότατα. Ῥυσαμένας.] ῥύσασθαι, λυτρώσασθαι. Σ. ῥύειν, καὶ ῥύεσθαι, τὸ ἕλκειν, καὶ τὸ φυλάσσειν. ῥύεσθαι δὲ ἀπὸ τοῦ ἐρύεσθαι. ὁ νοῦς. ἐκ τοῦ πολέμου, καὶ τῆς μανίας τῆς πολεμικῆς, τὴν Ἑλλάδα, καὶ τοὺς πολίτας ῥυσαμένας, σωσάσας. Χρυσ-D όφα δὲ χρυσολόφη, χρυσῆν λόφον ἐν τῇ περικεφαλαίᾳ φέρουσα. Τριτογένεια δὲ, ἡ Ἀθηνᾶ, εἴτε διὰ τὸ παρὰ τῷ Τρίτωνι Λιβύης ποταμῷ γεννηθῆναι, ἢ παρὰ τὸ τριτὼ, ὃ παρὰ Κρησὶ τὴν κεφαλὴν σημαίνει. οἱ γὰρ ποιηταὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς τοῦ Διὸς γεννηθῆναι μυθεύουσιν. ἢ διὰ τὸ τρεῖν, ἤγουν τρόμον ἐγγεννᾶν τοῖς ἐναντίοις.

CH. Ὥσπερ βαλανεύσοντας.] Vsitatum est βαλανεύειν pro διακονεῖν vt in Irena, hic puto esse τὴν βάλανον, id est, μοχλὸν ἀνοῖξαι. Est quidem in Epi-E grammate βαλανίζειν glandem decutere, ἄλλην δρυῒ βαλάνιζε. Sed Hesychii interpretatio notanda est qui ait esse Clara voce vti τὸ βαλανεύειν, quia balnearij aquam ferentes, vocales sunt & clamosi.

ΣΤΡΑΤΥΛΛΙΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ. Χορὸς Γυναικῶν.

F STRATVLLIS, CHORVS SENUM VIRORUM. Chorus mulierum.

Στρ. Ἔασον ὦ. τουτὶ τί ἦν. ὦ 'νδρες πονωπόνηροι.
Οὐ γάρ ποτ' ἂν χρηστοί γ' ἔδρων οὐδ' εὐσεβεῖς ταδ' ἄνδρες.

ST. *Dimittite ô, quid istud? ô nequam viri malique,*
*Nam nec bonorum hæc facta possunt esse nec piorum.*

BIS. Ἔασον ὦ.] Γυνή τις ἐκ τῶν ὕδωρ πρὸς τὴν τοῦ ἐμπρησμοῦ σβέσιν φερουσῶν, Στρατυλλὶς ὄνομα, τοὺς Γέροντας τοὺς τὸ πῦρ τῇ ἑαυτῶν φυσήσεσιν ἀναζωπυροῦντας ὀνειδίζει. εἶτα πολλῶν λοιδοριῶν ἀμφοτέρωθεν εἰρημένων, τὸ πρᾶγμα ἀπὸ τῶν λόγων, πρὸς τὰς πληγὰς μονονοὺ προέρχεται. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοί. Πονωπόνηροι] πόνηρος προπαροξυτόνως ὥς φησιν Εὐς. ὁ ἐπίπονος. πονηρὸς δὲ ὀξυτόνως, καὶ κατά τινας πονῆρος προπερισπωμένως, ὁ φαῦλος, κακὸς, μοχθηρός. πονωπόνηροι,
G ἀντὶ τοῦ πονηρότατοι. τινὲς δὲ διῃρημένως γράφουσι, πόνῳ πονηρὸς, καὶ ἑρμηνεύουσι σφόδρα πονηρός.

CHR. Ὦ 'νδρες πονωπόνηροι.] Vsus est hac voce in Vesparum fab. ὦ πονωπόνηρε καὶ μιλαμπυρία, vbi Scholiastes monet esse ἀσκήσει, & μελέτῃ πεπονημένος, id est, vsu & meditatione facto ad nequitiã & tyrannidis affectationem.